βασίλεια, σέθεν, μή με κτείνειν
δόξ' Ἀργείων κεῖται μελέαν,
ἢ κατὰ πρύμνας ἤδη ναῦται
στέλλονται κινεῖν κώπας.
ΕΚ. ὦ τέκνον, ὀρθρεύου σὰν ψυχάν·
ἐκπληχθεῖσ' ἦλθες φρίκᾳ.
ΗΜΙΧ. ἤδη τις ἔβα Δαναῶν κῆρυξ;
τῷ πρόσκειμαι δούλα τλάμων;
ΕΚ. ἐγγύς που κεῖσαι κλήρου.
ΗΜΙΧ. ἰὼ ἰώ.
τίς μ' Ἀργείων ἢ Φθιωτᾶν
ἢ νησαίαν μ' ἄξει χώραν
δύστανον πόρσω Τροίας;
ΕΚ. φεῦ φεῦ.
τῷ δ' ἁ τλάμων
ποῦ πᾶ γαίας δουλεύσω γραῦς,
ὡς κηφήν, ἁ
δειλαία νεκροῦ μορφά,
νεκύων ἀμενηνὸν ἄγαλμ', ἢ
τὰν παρὰ προθύροις φυλακὰν κατέχουσ'
ἢ παίδων θρέπτειρ', ἃ Τροίας
ἀρχαγοὺς εἶχον τιμάς;

ΧΟ. αἰαῖ αἰαῖ, οἵοις οἴκτοις stroph.
τὰν σὰν λύμαν ἐξαιάζεις·
οὐκ Ἰδαίοις ἱστοῖς κερκίδα
δινεύουσ' ἐξαλλάξω.

---

182 ὀρθεύου *C* 183 *ΧΟ. OP*, om. Aldina | ἦλθες] Hartung, ἦλθον libri 184 *ΗΜΙΧ.* om. *OP*, praefixit Seidler 185 τλάμον *P* 186 κεῖται *C* 187 *ΗΜΙΧ.*] Seidler, *ΧΟ. OP* | ante τίς Hecubae nota in *P* | με *P* | φθιωτᾶν *H*, φθιωτάν *P*, φθιωτῶν *O* 188 fort. νησαίας vel potius νησαίου . . χώρας | μ' ἄξει *O*, ἥξει *P* 189 πόρσω] Dindorf, πόρρω *P*, πρόσω *BN*, γρ. πόρρω superscr. *B*²*N*, πρόσω *C* 190 personae notam om. *O*, *ΧΟ. P* 191 ποῦ πᾶ *BC*, ποῦ παῖ *NP*, ποῦ ποῦ Ald., fort. ποῦ 192 κηφῆνα *O*, σκηφήν ἁ *P* 193—5 habet nihil nisi νεκύων ἀμενηνὰ | παρὰ προθύροις | ἢ παίδων θρέπτηρας *P* 194 παρά τε *O*, πὰρ olim Nauck 195 θέπτειρ' *BN* 197 *ΕΚ. O* | οἵοις] scripsi, ποίοις δ' libri 198 ἐξετάζεις *P* 199 *ΧΟ. O*, *ΕΚ. P* | ἱστοῖς] Aldina, ἱστοῖσι *OP* 200 ἐξαλάξω *BN*, ἐξολολύξω Barthold